FRANCKESCHE
STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Liber Quartus.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

# XENOPHONTIS MEMORABILIVM

## LIBER QVARTVS.

### CAPVT I.

*Homines bonae indolis et divites non minus institutione egere, quam reliquos.*

Οὕτω δὲ ὁ Σωκράτης ἦν ἐν παντὶ πράγ-
ματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε τῷ
σκοπουμένῳ τοῦτο, καὶ εἰ μετρίως αἰσθανομένῳ,
φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ
Σωκράτει συνεῖναι, καὶ μετ' ἐκείνου διατρίβειν,
ὁπουοῦν καὶ ἐν ὁτῳοῦν πράγματι· ἐπεὶ καὶ τὸ
ἐκείνου μεμνῆσθαι μὴ παρόντος, οὐ μικρὰ ὠφέ-
λει τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι καὶ ἀπο-
δεχομένους ἐκεῖνον. καὶ γὰρ παίζων οὐδὲν ἧτ-
τον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβου-
σι. πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾷν, φανε- 2
ρὸς δ' ἦν, οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ
τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων,
ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύ-
σεις ἐκ τοῦ ταχύ τε μανθάνειν, οἷς προσέχοιεν,
καὶ μνημονεύειν, ἃ ἂν μάθοιεν, καὶ ἐπιθυμεῖν
τῶν μαθημάτων πάντων, δι' ὧν ἔστιν οἰκίαν τε
καλῶς οἰκεῖν, καὶ πόλιν, καὶ τὸ ὅλον, ἀνθρώ-

ποις

ποις τε καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆ-
σθαι. τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας
οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι, καὶ
τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλ-
λους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμο-
3 νας ποιεῖν. οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάν-
τας ᾔει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς
εἶναι, μαθήσεως δὲ καταφρονοῦντας, ἐδίδα-
σκεν, ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μά-
λιστα παιδείας δέονται· ἐπιδεικνύων τῶν τε
ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ
σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐ-
χρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδά-
μαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλο-
τάτους· καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων, φι-
λοπόνων τε οὐσῶν, καὶ ἐπιθετικῶν τοῖς θηρίοις,
τὰς μὲν καλῶς ἀχθείσας, ἀρίστας γίγνεσθαι
πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώ-
γους δὲ γιγνομένας, ματαίους τε καὶ μανιώδεις
4 καὶ δυσπειθεστάτας· ὁμοίως δὲ καὶ τῶν ἀν-
θρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε
ταῖς ψυχαῖς ὄντας, καὶ ἐξεργαστικωτάτους,
ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μα-
θόντας, ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφε-
λιμωτάτους γίγνεσθαι (πλεῖστα γὰρ καὶ μέγι-
στα ἀγαθὰ ἐργάζεσθαι) ἀπαιδεύτους δὲ καὶ
ἀμαθεῖς γενομένους, κακίστους τε καὶ βλαβερω-
τάτους γίγνεσθαι. κρίνειν γὰρ οὐκ ἐπισταμένους,
ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν
πράγμασι, μεγαλείους δὲ καὶ σφοδροὺς ὄντας,
δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι· διὸ
5 πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζεσθαι. τοὺς
δὲ

δὲ ἐπὶ πλούτῳ μέγα φρονοῦντας, καὶ νομίζοντας, οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δέ σφισι τὸν πλοῦτον οἰομένους πρὸς τὸ διαπράττεσθαί τε ὅ, τι ἂν βούλωνται, καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου, λέγων, ὅτι μωρὸς μὲν εἴη, εἴ τις οἴεται, μὴ μαθὼν, τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι· μωρὸς δ', εἴ τις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον, ὅ, τι ἂν βούληται, ποριζόμενος, οἴεται δυνήσεσθαι καὶ τὰ συμφέροντα πράττειν· ἠλίθιος δ', εἴ τις μὴ δυνάμενος τὰ συμφέροντα πράττειν a), οἴεται καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἢ καλῶς ἢ ἱκανῶς παρεσκευάσθαι· ἠλίθιος δὲ καὶ, εἴ τις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τὶ ἀγαθὸς εἶναι, ἢ μηδὲν ἀγαθὸς ὢν, [δοκεῖν] εὐδοκιμήσειν.

## CAPVT II.

*Euthydemum, qui nullo magistro uti volebat, ad sanitatem revocat.*

Τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι, καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ, ὡς προσεφέρετο, νῦν διηγήσομαι. καταμαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα

τα

a) Vett. edd. post πράττειν addunt οὔτε πράττειν, pro quo εὖ τε deinde editum est e conjectura. (Defendit Schüzius V. Cl. lectionem Leunclavii: εὖ τε πράττειν οἴεται.)

τα διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ, καὶ με-
γάλας ἐλπίδας ἔχοντα, πάντων διοίσειν τῷ
δύνασθαι λέγειν τε καὶ πράττειν, πρῶτον μὲν
αἰσθανόμενος αὐτὸν διὰ νεότητα οὔπω εἰς τὴν
ἀγορὰν εἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξα-
σθαι, καθίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς
τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ᾔει, τῶν μεθ'
2 αὐτοῦ τινας ἔχων. καὶ πρῶτον μὲν πυνθανο-
μένου τινὸς, πότερον Θεμιστοκλῆς διὰ ξυνουσίαν
τινὸς τῶν σοφῶν ἢ φύσει τοσοῦτον διήνεγκε τῶν
πολιτῶν, ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν
πόλιν, ὁπότε σπουδαίου ἀνδρὸς δεηθείη, ὁ Σω-
κράτης, βουλόμενος κινεῖν τὸν Εὐθύδημον, εὐή-
θες, ἔφη, εἶναι τὸ οἴεσθαι, τὰς μὲν ὀλίγου
ἀξίας τέχνας μὴ γίγνεσθαι σπουδαίοις ἄνευ δι-
δασκάλων ἱκανῶν, τὸ δὲ προεστάναι πόλεως,
πάντων ἔργων μέγιστον ὄν, ἀπὸ ταὐτομάτου
3 παραγίγνεσθαι τοῖς ἀνθρώποις. Πάλιν δέ πο-
τε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν ἀπο-
χωροῦντα τῆς συνεδρίας, καὶ φυλαττόμενον,
μὴ δόξῃ τὸν Σωκράτην θαυμάζειν ἐπὶ σοφίᾳ,
ὅτι μὲν, ἔφη, ὦ ἄνδρες, Εὐθύδημος οὑτοσὶ, ἐν
ἡλικίᾳ γενόμενος, τῆς πόλεως λόγον περί τι-
νος προτιθείσης, οὐκ ἀφέξεται τοῦ συμβουλεύειν,
εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει. δοκεῖ δέ μοι
καλὸν προοίμιον τῶν δημηγοριῶν b) παρασκευ-
άσασθαι, φυλαττόμενος, μὴ δόξῃ μανθάνειν
τι παρά του. δῆλον γὰρ, ὅτι λέγειν ἀρχόμε-
4 νος ὧδε προοιμιάσεται· Παρ' οὐδενὸς μὲν πώ-
ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν ἔμαθον, οὐδ'
ἀκούων, τινὰς εἶναι λέγειν τε καὶ πράττειν
ἱκα-

b) Vulg. δημηγορικῶν.

ἱκανοὺς, ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμε-
λήθην τοῦ διδάσκαλόν τινά μοι γενέσθαι τῶν
ἐπισταμένων· ἀλλὰ καὶ τἀναντία. διατετέλεκα
γὰρ φεύγων οὐ μόνον τὸ μανθάνειν τι παρά τι-
νος, ἀλλὰ καὶ τὸ δόξαι. ὅμως δὲ, ὅ, τι ἂν
ἀπὸ ταὐτομάτου ἐπίῃ μοι, συμβουλεύσω ὑμῖν.
Ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι καὶ τοῖς βου- 5
λομένοις παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λα-
βεῖν. [ἐπιτήδειόν γ' ἂν αὐτοῖς εἴη, τοῦ λόγου
ἄρχεσθαι ἐντεῦθεν]*) Παρ' οὐδενὸς μὲν πώποτε,
ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμα-
θον, οὐδ' ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι
τῶν ἰατρῶν οὐδένα· διατετέλεκα γὰρ φυλαττό-
μενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν,
ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην
ταύτην· ὅμως δέ μοι τὸ ἰατρικὸν ἔργον δότε·
πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μανθά-
νειν. πάντες οὖν οἱ παρόντες ἐγέλασαν ἐπὶ
τῷ προοιμίῳ. ἐπεὶ δὲ φανερὸς ἦν ὁ Εὐθύδη- 6
μος ἤδη μὲν, οἷς ὁ Σωκράτης λέγοι, προσέ-
χων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγε-
σθαι, καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν
περιβάλλεσθαι, τότε ὁ Σωκράτης, βουλόμενος
αὐτὸν παῦσαι τούτου, θαυμαστὸν γὰρ, ἔφη, τί
ποτε οἱ βουλόμενοι κιθαρίζειν, ἢ αὐλεῖν, ἢ ἱπ-
πεύειν, ἢ ἄλλο τι τῶν τοιούτων ἱκανοὶ γενέσθαι,
μὴ**) πειρῶνται ὡς συνεχέστατα ποιεῖν, ὅ, τι ἂν
βούλωνται δυνατοὶ γενέσθαι, καὶ καθ' ἑαυτοὺς,
ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι, πάντα
ποιοῦντες καὶ ὑπομένοντες ἕνεκα τοῦ μηδὲν ἄνευ
τῆς

*) Verba uncinis inclusa Ern. pro spuriis habebat.

**) Schüz. del. v. μὴ et mox leg. καὶ οὐ καθ' ἑαυτούς.

τῆς ἐκείνων γνώμης ποιεῖν, ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι· τῶν δὲ βουλομένων δυνατῶν γενέσθαι λέγειν τε καὶ πράττειν τὰ πολιτικὰ, νομίζουσί τινες ἄνευ παρασκευῆς καὶ ἐπιμελείας αὐτόματοι ἐξαίφνης δυνατοὶ ταῦ-
7 τα ποιεῖν ἔσεσθαι. καί τοι γε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα φαίνεται, ὅσῳπερ, πλειόνων περὶ ταῦτα πραγματευομένων, ἐλάττους οἱ κατεργαζόμενοι γίγνονται. δῆλον οὖν, ὅτι καὶ ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυροτέρας οἱ τούτων ἐφιέμενοι, ἢ
8 οἱ ἐκείνων. καταρχὰς μὲν οὖν ἀκούοντος Εὐθυδήμου τοιούτους λόγους ἔλεγε Σωκράτης· ὡς δ' ᾔσθετο αὐτὸν ἑτοιμότερον ὑπομένοντα, ὅτε διαλέγοιτο, καὶ προθυμότερον ἀκούοντα, μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον· παρακαθεζομένου δ' αὐτῷ τοῦ Εὐθυδήμου, εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, τῷ ὄντι, ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆξας τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; νὴ τὸν Δί', ἔφη, ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι, ὡς ἂν δύ-
9 νωμαι, πλεῖστα. νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, ἀγάμαι σου, διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον, ἢ σοφίας· δῆλον γὰρ, ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους. καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει ὀρ-
10 θῶς μετιέναι τὴν σοφίαν. ὁ δὲ καταμαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ, τί δὲ δὴ βουλόμενος ἀγαθὸς γενέσθαι, ἔφη, ὦ Εὐθύδημε,

συλ-

συλλέγεις τὰ γράμματα; ἐπεὶ δὲ διεσιώπησεν
ὁ Εὐθύδημος, σκοπῶν ὅ, τι ἀποκρίναιτο· πά-
λιν ὁ Σωκράτης, ἆρα μὴ ἰατρός; ἔφη, πολ-
λὰ γὰρ καὶ ἰατρῶν ἐστι συγγράμματα. καὶ
ὁ Εὐθύδημος, μὰ Δί', ἔφη, οὐκ ἔγωγε. ἀλλὰ
μὴ ἀρχιτέκτων βούλει γενέσθαι; γνωμονικοῦ
γὰρ ἀνδρὸς καὶ τοῦτο δεῖ. οὔκουν ἔγω γ', ἔφη.
ἀλλὰ μὴ γεωμέτρης ἐπιθυμεῖς, ἔφη, γενέσθαι
ἀγαθὸς, ὥσπερ ὁ Θεόδωρος; οὐδὲ γεωμέτρης,
ἔφη. ἀλλὰ μὴ ἀστρολόγος, ἔφη, βούλει γενέ-
σθαι; ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο, ἀλλὰ μὴ ῥα-
ψῳδός; ἔφη. καὶ γὰρ τὰ Ὁμήρου σέ φασιν
ἔπη πάντα κεκτῆσθαι. μὰ Δί', οὐκ ἔγωγ',
ἔφη. τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα, τὰ μὲν
ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄν-
τας. καὶ ὁ Σωκράτης ἔφη· οὐ δήπου, ὦ Εὐ- 11
θύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν
ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ οἰκονόμι-
κοὶ καὶ ἄρχειν ἱκανοὶ, καὶ ὠφέλιμοι τοῖς τε
ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύ-
δημος, σφόδρα γ', ἔφη, ὦ Σώκρατες, ταύ-
της τῆς ἀρετῆς δέομαι. νὴ Δί', ἔφη ὁ Σω-
κράτης, τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης
ἐφίεσαι τέχνης. ἔστι γὰρ τῶν βασιλέων αὕ-
τη, καὶ καλεῖται βασιλική. ἀτὰρ, ἔφη, κα-
τανενόηκας, εἰ οἷόν τ' ἐστὶ, μὴ ὄντα δίκαιον,
ἀγαθὸν ταῦτα γενέσθαι; καὶ μάλα, ἔφη,
καὶ οὐχ οἷόν τε γε ἄνευ δικαιοσύνης ἀγαθὸν
πολίτην γενέσθαι. τί οὖν, ἔφη, σὺ δὴ τοῦτο 12
κατείργασαι; οἶμαί γ', ἔφη, ὦ Σώκρατες,
οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. ἆρ' οὖν,
ἔφη, τῶν δικαίων ἐστὶν ἔργα, ὥσπερ τῶν τε-

 κτό-

κτόνων; ἔστι μέν τοι, ἔφη. ἆρ' οὖν, ἔφη, ὥσ-
περ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπι-
δεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν
διεξηγήσασθαι; μὴ οὖν, ἔφη ὁ Εὐθύδημος, οὐ
δύνωμαι ἐγὼ τὰ τῆς δικαιοσύνης ἔργα ἐξη-
γήσασθαι; καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀδι-
κίας. ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν
13 τοιαῦτα ὁρᾷν τε καὶ ἀκούειν. Βούλει οὖν, ἔφη
ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν Δ,
ἐνταυθοῖ δὲ Α. εἶτα ὅ, τι μὲν ἂν δοκῇ ἡμῖν
τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ Δ τι-
θῶμεν, ὅ, τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ
Α. εἴ τι σοι δοκεῖ, ἔφη, προσδεῖν τούτων,
14 ποίει ταῦτα. καὶ ὁ Σωκράτης γράψας, ὥσ-
περ εἶπεν, οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις τὸ
ψεύδεσθαι c); ἔστι μέν τοι, ἔφη. ποτέρωσε
οὖν, ἔφη, θῶμεν τοῦτο; δῆλον, ἔφη, ὅτι πρὸς
τὴν ἀδικίαν. οὐκοῦν, ἔφη, καὶ τὸ ἐξαπατᾷν
ἐστι; καὶ μάλα, ἔφη. τοῦτο οὖν ποτέρωσε θῶ-
μεν; καὶ τοῦτο δῆλον, ὅτι, ἔφη, πρὸς τὴν
ἀδικίαν. τί δὲ τὸ κακουργεῖν; καὶ τοῦτο, ἔφη.
τὸ δ' ἀνδραποδίζεσθαι d); καὶ τοῦτο. πρὸς
δὲ δικαιοσύνην οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ
15 Εὐθύδημε; δεινὸν γὰρ ἂν εἴη, ἔφη. τί δέ;
ἐάν τις στρατηγὸς αἱρεθεὶς, ἄδικόν τε καὶ
ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦ-
τον ἀδικεῖν; οὐ δῆτα, ἔφη. δίκαια δὲ ποιεῖν
οὐ φήσομεν; καὶ μάλα. τί δ'; ἂν ἐξαπατᾷ
πολεμῶν αὐτοῖς; δίκαιον, ἔφη, καὶ τοῦτο.

ἐὰν

c) Vulg. sine articulo.
d) Leuncl. et Wels τί δὲ ἀνδρ. nempe e Stobaeo. (Lego cum Stephano: τί δὲ τὸ ἀνδρ.)

ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ
δίκαια ποιήσει; καὶ μάλα, ἔφη. ἀλλ' ἐγώ
σε τὸ πρῶτον ὑπελάμβανον πρὸς τοὺς φίλους
μόνον ταῦτ' ἐρωτᾷν. οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ
ἀδικίᾳ ἐθήκαμεν, πάντα καὶ πρὸς τῇ δικαιο-
σύνῃ θετέον ἂν εἴη; ἔοικεν, ἔφη. βούλει οὖν, 16
ἔφη, ταῦτα οὕτω θέντες, διορισώμεθα πάλιν
πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοι-
αῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους, ἄδικον· ἀλ-
λὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι;
πάνυ μὲν οὖν, ἔφη ὁ Εὐθύδημος. τί οὖν, ἔφη 17
ὁ Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως
ἔχον τὸ στράτευμα, ψευσάμενος φήσῃ συμμά-
χους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ παύσῃ
τὰς ἀθυμίας τοῦ στρατεύματος, ποτέρωθι τὴν
ἀπάτην ταύτην θήσομεν; δοκεῖ μοι, ἔφη,
πρὸς τὴν δικαιοσύνην. ἐὰν δέ τις υἱὸν ἑαυτοῦ
δεόμενον φαρμακείας, καὶ μὴ προσιέμενον φάρ-
μακον, ἐξαπατήσας, ὡς σιτίον τὸ φάρμα-
κον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ
ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον;
δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. τί
δὲ, ἄν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ
διαχρήσηται ἑαυτὸν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξί-
φος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θε-
τέον; καὶ τοῦτο νὴ Δί', ἔφη, πρὸς τὴν δικαιο-
σύνην. λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς φίλους 18
ἅπαντα δεῖν ἁπλοΐζεσθαι. μὰ Δί', οὐ δῆτα,
ἔφη. ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ
ἔξεστι. Δεῖ γέ τοι, ἔφη ὁ Σωκράτης, ἐξεῖ-
ναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι. τῶν 19
δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ



Franckesche Stiftungen zu Halle

(ἵνα μηδὲ τοῦτο παραλείπωμεν ἄσκεπτον) πό-
τερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν, ἢ ὁ ἄκων;
ἀλλ', ὦ Σώκρατες, οὐκ ἔτι μὲν ἔγωγε πιστεύω,
οἷς ἀποκρίνομαι. καὶ γὰρ τὰ πρόσθεν πάντα
νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην.
ὅμως δὲ εἰρήσθω μοι, ἀδικώτερον εἶναι τὸν
20 ἑκόντα ψευδόμενον τοῦ ἄκοντος. δοκεῖ δέ σοι
μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ
τῶν γραμμάτων; ἔμοιγε. πότερον δὲ γραμ-
ματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γρά-
φῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; ὃς ἂν ἑκὼν,
ἔγωγε. δύναιτο γὰρ ἂν, ὁπότε βούλοιτο, καὶ
ὀρθῶς αὐτὰ ποιεῖν. οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρ-
θῶς γράφων, γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων,
ἀγράμματος; πῶς γὰρ οὔ; τὰ δίκαια δὲ πό-
τερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν,
ἢ ὁ ἄκων; δῆλον ὅτι ὁ ἑκών. οὐκοῦν γραμματι-
κώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ
ἐπισταμένου φὴς εἶναι; ναί. δικαιότερον δὲ τὸν
ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; φαί-
νομαι· δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως
21 λέγειν. τί δὲ δὴ, ὃς ἂν βουλόμενος τἀληθῆ
λέγειν, μηδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν
λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν, τοτὲ
μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ,
καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν, τοτὲ
μὲν πλείω, τοτὲ δ' ἐλάττω ἀποφαίνηται, τί
σοι δοκεῖ ὁ τοιοῦτος; δῆλος c) νὴ Δί' εἶναι, ὅτι,
22 ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν. οἶσθα δέ τινας ἀν-
δραποδώδεις καλουμένους; ἔγωγε. πότερον διὰ
σοφίαν ἢ δι' ἀμαθίαν; δῆλον ὅτι δι' ἀμαθίαν.
ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ
ὀνό-

c) Ern. et al. δειλός.

ὀνόματος τούτου τυγχάνουσιν; οὐ δῆτα. ἀλλ' ἄρα
διὰ τὴν τοῦ τεκταίνεσθαι; οὐδὲ διὰ ταύτην.
ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; οὐδὲ δι' ἓν τούτων,
ἔφη, ἀλλὰ καὶ τοὐναντίον. οἱ γὰρ πλεῖστοι τῶν
γε τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις
εἰσίν. ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ
δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτ' ἐστίν; ἔμοι-
γε δοκεῖ, ἔφη. οὐκοῦν δεῖ παντὶ τρόπῳ δια-
τειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦ-
μεν. ἀλλὰ, νὴ τοὺς θεοὺς, ἔφη, ὦ Σώκρατες, 23
πάνυ ᾤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν
μάλιστα ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα
ἀνδρὶ καλοκἀγαθίας ὀρεγομένῳ· νῦν δὲ πῶς
οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ
μὲν τὰ προπεπονημένα οὐδὲ τὸ ἐρωτώμενον
ἀποκρίνασθαι δυνάμενον, ὑπὲρ ὧν μάλιστα χρὴ
εἰδέναι, ἄλλην δὲ ὁδὸν οὐδεμίαν ἔχοντα, ἣν ἂν
πορευόμενος βελτίων γενοίμην; καὶ ὁ Σωκρά- 24
της, εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελ-
φοὺς ἤδη πώποτε ἀφίκου; καὶ δίς γε f) νὴ
Δί', ἔφη. κατέμαθες οὖν πρὸς τῷ ναῷ που
γεγραμμένον τὸ Γνῶθι σαυτόν; ἔγωγε. πό-
τερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ
προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπι-
σκοπεῖν, ὅστις εἴης; μὰ Δί' οὐ δῆτα, ἔφη.
καὶ γὰρ δὴ πάνυ τοῦτό γε ᾤμην εἰδέναι· σχο-
λῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴγε μηδ' ἐμαυ-
τὸν ἐγίγνωσκον. πότερα δέ σοι δοκεῖ γιγνώ- 25
σκειν ἑαυτὸν, ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον
οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι,
οὐ πρότερον οἴονται γιγνώσκειν, ὃν ἂν βούλων-
ται



f) γε vulgo abest.

ται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον
εὐπειθής ἐστιν ἢ δύσπειθὴς, καὶ πότερον ἰσχυ-
ρός ἐστιν ἢ ἀσθενὴς, καὶ πότερον ταχὺς ἢ
βραδὺς, καὶ τἄλλα τὰ πρὸς τὴν τοῦ ἵππου
χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως
ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός
ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν
αὑτοῦ δύναμιν; οὕτως ἔμοιγε δοκεῖ, ἔφη, ὁ μὴ
εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν.
26 ἐκεῖνο δὲ οὐ φανερὸν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰ-
δέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ
ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖ-
στα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τά
τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώ-
σκουσιν, ἅ τε δύνανται καὶ ἃ μή· καὶ ἃ μὲν
ἐπίστανται, πράττοντες, πορίζονταί τε ὧν
δέονται, καὶ εὖ πράττουσιν· ὧν δὲ μὴ ἐπί-
στανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται,
καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦ-
το δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι
δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας
τά τε ἀγαθά πορίζονται καὶ τὰ κακὰ φυ-
27 λάττονται· οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευ-
σμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε τοὺς ἄλ-
λους ἀνθρώπους καὶ τἄλλα ἀνθρώπινα πράγ-
ματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται
ἴσασιν, οὔτε, ὅ, τι πράττουσιν, οὔτε οἷς χρῶν-
ται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες,
τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κα-
28 κοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες, ὅ, τι
ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔ-
δοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοι-



Franckesche Stiftungen zu Halle

οἱ g) τούτοις ἡδέως χρῶνται, οἵτε ἀποτυγχά-
νοντες *) τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑ-
πὲρ αὐτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυ-
τῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν
τούτοις ἔχουσι· καὶ διὰ πάντα ταῦτα πάντων
μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες ἃ 29
ποιοῦσι, κακῶς δὲ αἱρούμενοι, καὶ οἷς ἂν ἐπι-
χειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐ-
τοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλ-
λὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι
γίγνονται, καὶ καταφρονούμενοι καὶ ἀτιμαζό-
μενοι ζῶσιν. ὁρᾷς δὲ, καὶ τῶν πόλεων ὅτι,
ὅσαι ἐὰν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείτ-
τοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται,
αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. καὶ ὁ Εὐθύδημος, 30
ὡς πάνυ μοι δοκεῖ, ὦ Σώκρατες, ἔφη, περὶ
πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν,
οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκο-
πεῖν ἑαυτὸν, τοῦτο, πρός σε ἀποβλέπω, εἴ
μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. οὐκοῦν, ἔφη ὁ 31
Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά
ἐστι, πάντως που γιγνώσκεις. νὴ Δί', ἔφη. εἰ
γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων
φαυλότερος ἂν εἴην. ἴθι δὴ, ἔφη, καὶ ἐμοὶ
ἐξήγησαι αὐτά. ἀλλ' οὐ χαλεπὸν, ἔφη. πρῶ-



g) ὅμοιοι et ἀποτυγχάνοντες sibi invicem h. l. manifeste opponuntur, ὅμοιοι igitur sint similiter ἐπιτυγχάνοντες necesse est. Atque in eo consistit τὸ τίμιον εἶναι, quod hi quidem libenter familiaritate eorum utuntur, illi vero consilia eorum et patrocinium adeo expetunt.

*) Schütz. V. Cl. conj. οἵτε ἀπέχοντες τ. π. qui a negotiis publicis abstinent.

τον μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν, κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν, καὶ ποτὰ, καὶ βρωτὰ, καὶ ἐπιτηδεύματα, τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα, ἀγαθὰ, τὰ δὲ πρὸς τὸ νοσεῖν, κακά.

32 οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. πότε δ' ἂν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν, ἀγαθοῦ; ὅταν, νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς, καὶ ναυτιλίας βλαβερᾶς, καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. ἀληθῆ λέγεις. ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, οὐ μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. οὐδὲν μὰ Δία φαίνεται, κατά

33 γε τοῦτον τὸν λόγον. ἀλλ' ἥ γε τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν. ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν, ἢ ἀμαθής; τί δέ; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν, ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε, καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευε; λέγεται νὴ Δί', ἔφη, ταῦτα. τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφί-

σοφίαν φθονηθεὶς ὑπὸ τῦ Ὀδυσσέως ἀπώλετο. λέγεται καὶ ταῦτα, ἔφη. ἄλλες δὲ πόσες οἴει διὰ σοφίαν ἀναρπάςες πρὸς βασιλέα γεγονέναι, καὶ ἐκεῖ δελεύειν; κινδυνεύει, ἔφη, ὦ Σώ- 34
κρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. εἴγε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. τί δ' ἂν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; ἐδὲν, ἔφη, εἴγε μὴ προσθήσομεν αὐτῷ κάλλος, ἢ ἰσχὺν, ἢ πλῦτον, ἢ δόξαν, ἢ καί τι ἄλλο τῶν τοιέτων. ἀλλὰ, νὴ Δία, προσθήσομεν, ἔφη. πῶς γὰρ ἄν τις ἄνευ τέτων εὐδαιμονοίη; νὴ Δί, ἔφη· προσθήσομεν ἄρα, ἐξ ὧν 35
πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις. πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων διαφθείρονται· πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειρῦντες, ἐ μικροῖς κακοῖς περιπίπτεσι· πολλοὶ δὲ διὰ τὸν πλῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβελευόμενοι ἀπόλλυνται· πολλοὶ δὲ διὰ τὴν h) δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. ἀλλὰ μὴν, ἔφη, εἴγε μηδὲ τὸ 36
εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ, μηδ', ὅ, τι πρὸς τὲς θεὲς εὔχεσθαι χρὴ, εἰδέναι. ἀλλὰ ταῦτα μὲν, ἔφη ὁ Σωκράτης, ἴσως, διὰ τὸ σφόδρα πιςεύειν εἰδέναι, ἐδ' ἔσκεψαι. ἐπεὶ δὲ πόλεως δημοκρατεμένης παρασκευάζῃ προεςάναι, δῆλον, ὅτι δημοκρατίαν γε οἶσθα, τί ἐςιν. πάντως δήπε, ἔφη. δο- 37
κεῖ ἐν σοι δυνατὸν εἶναι, δημοκρατίαν εἰδέναι, μὴ εἰδότα δῆμον; μὰ Δί', ἐκ ἔμοιγε. καὶ τί νομί-



h) διὰ δόξαν Wels et al.

νομίζεις δῆμον εἶναι; τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. καὶ τοὺς πένητας ἄρα οἶσθα; πῶς γὰρ οὔ; ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; οὐδέν γε i) ἧττον ἢ καὶ τοὺς πένητας. ποίους δὲ πένητας καὶ ποίους πλουσίους καλεῖς; τοὺς μὲν οἶμαι μὴ ἱκανὰ ἔχοντας, εἰς ἃ δεῖ τελεῖν, πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους.
38 καταμεμάθηκας οὖν, ὅτι ἐνίοις μὲν, πάνυ ὀλίγα ἔχουσιν, οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; καὶ νὴ Δί', ἔφη ὁ Εὐθύδημος. ὀρθῶς γάρ με ἀναμιμνήσκεις. οἶδα γὰρ καὶ τυράννους τινὰς, οἳ δι' ἔνδειαν, ὥσπερ οἱ
39 ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν. οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴ γε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. καὶ ὁ Εὐθύδημος ἔφη, ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν δηλονότι ἡ ἐμὴ φαυλότης, καὶ φροντίζω, μὴ κράτιστον ᾖ μοι σιγᾶν· κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδρα-
40 ποδον εἶναι. πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκέτι αὐτῷ προσῄεσαν, οὓς καὶ βλακωτέρους ἐνόμιζεν· ὁ δ' Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη. καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη· ἔνια δὲ καὶ ἐμιμεῖτο, ὧν ἐκεῖνος ἐπετήδευεν. ὁ δ' ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα

i) Vulg. οὐδὲν δὲ ἤ.

ἐξηγεῖτο, ἅ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπι-
τηδεύειν κράτιστα εἶναι.

## CAPVT III.

*Hominibus Deos consulere, et propterea colendos esse.*

Τὸ μὲν οὖν λεκτικοὺς, καὶ πρακτικοὺς, καὶ μη-
χανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν,
ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην
αὐτοῖς ἐγγενέσθαι. τοὺς γὰρ ἄνευ τοῦ σωφρο-
νεῖν ταῦτα δυναμένους, ἀδικωτέρους τε καὶ δυ-
νατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι. πρῶτον 2
μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν
τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους
οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δὲ,
ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παρε-
γενόμην. Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη 3
ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς
οἱ θεοὶ, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευά-
κασι; καὶ ὃς, μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε.
ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς
δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; νὴ Δί',
ἔφη, ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς
ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν.
ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν
νύκτα παρέχουσι, κάλλιστον ἀναπαυτήριον. πά- 4
νυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. οὐκοῦν
καὶ ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥ-
ρας τῆς ἡμέρας ἡμῖν καὶ τἄλλα πάντα σαφη-
νίζει, ἡ δὲ νὺξ, διὰ τὸ σκοτεινὴ εἶναι, ἀσα-
φεστέρα ἐστιν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ
ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει, καὶ διὰ
τοῦτο

τοῦτο πολλά, ὧν δεόμεθα, πράττομεν; ἔστι
ταῦτα, ἔφη. ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον
τῆς νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φα-
5 νερὰ ἡμῖν ποιεῖ. πάνυ μὲν οὖν, ἔφη. τὸ δ',
ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς
ἀναδιδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο
παρέχειν, αἳ ἡμῖν οὐ μόνον, ὧν δεόμεθα, πολ-
λὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ
οἷς εὐφραινόμεθα; πάνυ, ἔφη, καὶ ταῦτα φι-
6 λάνθρωπα. τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν
οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φυτεύειν τε καὶ
συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ
χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς,
καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐ-
κατεργαστότερά τε καὶ ὠφελιμώτερα, καὶ ἡδίω
ποιεῖν αὐτά· καὶ ἐπειδὴ πλείστου δεόμεθα τού-
του, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; καὶ
7 τοῦτο, ἔφη, προνοητικόν. τὸ δὲ καὶ τὸ πῦρ
πορίσαι ἡμῖν, ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον
δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην
καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κα-
τασκευάζονται; ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν
ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν
8 βίον χρησίμων κατασκευάζονται. ὑπερβάλ-
λει, ἔφη, καὶ τοῦτο φιλανθρωπίᾳ*). τὸ δὲ τὸν
ἥλιον,

*) Inſigne hic ſupplementum praebet cod. Meerm., quod Schüz. V. Cl. in textum recepit: τὸ δὲ καὶ ἀέρα ἡμῖν ἀφθόνως οὕτω πανταχοῦ διαχῦσαι οὐ μόνον πρόμαχον ἀλλὰ καὶ σύντροφον ζωῆς [ὥστε inſ. Schüz.] καὶ πελάγη περᾶν δι' αὐτοῦ καὶ τὰ ἐπιτήδεια [ἄλλους inſ. Sch.] ἄλλοις ἀλλαχόθεν καὶ ἐν ἀλλοδαπῇ (εἰς ἀλλοδαπὴν Sch.) στελλομένοις πορίζεσθαι· πῶς οὐχ ὑπὲρ λόγον; Ἀνέκφραστον.

ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέ-
ναι τὰ μὲν ἁδρύνοντα, τὰ δὲ ξηραίνοντα, ὧν
καιρὸς διελήλυθεν· καὶ ταῦτα διαπραξάμενον
μηκέτι ἐγγυτέρω προσιέναι, ἀλλ' ἀποτρέπε-
σθαι, φυλαττόμενον μή τι ἡμᾶς μᾶλλον τοῦ
δέοντος θερμαίνων βλάψῃ· καὶ ὅταν αὖ πά-
λιν ἀπιὼν γένηται, (ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν,
ὅτι εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα
ὑπὸ τοῦ ψύχους,) πάλιν αὖ τρέπεσθαι καὶ
προσχωρεῖν, καὶ ἐνταῦθα τοῦ οὐρανοῦ ἀναστρέ-
φεσθαι, ἔνθα ὢν μάλιστα ἡμᾶς ὠφελοίη; νὴ
τὸν Δί', ἔφη, καὶ ταῦτα παντάπασιν ἔοικεν
ἀνθρώπων ἕνεκα γιγνομένοις. τὸ δ' αὖ, ἐπει- 9
δὴ καὶ τοῦτο φανερὸν, ὅτι οὐκ ἂν ὑπενέγκοιμεν
οὔτε τὸ καῦμα, οὔτε τὸ ψῦχος, εἰ ἐξαπίνης
γίγνοιτο, οὕτω μὲν κατὰ μικρὸν προσιέναι τὸν
ἥλιον, οὕτω δὲ κατὰ μικρὸν ἀπιέναι, ὥς τε
λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα
καθισταμένους; ἐγὼ μὲν, ἔφη ὁ Εὐθύδημος,
ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τι ἐστὶ τοῖς k) θεοῖς
ἔργον, ἢ ἀνθρώπους θεραπεύειν. ἐκεῖνο δὲ μόνον
ἐμποδίζει με, ὅτι καὶ τἄλλα ζῶα τούτων μετέ-
χει. οὐ γὰρ καὶ τοῦτ', ἔφη ὁ Σωκράτης, φα- 10
νερὸν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γί-
γνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶ-
ον αἰγῶν τε, καὶ ὑῶν, καὶ ἵππων, καὶ βο-
ῶν, καὶ ὄνων, καὶ τῶν ἄλλων ζώων τοσαῦτα
ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; ἐμοὶ μὲν
γὰρ δοκεῖ πλείω τῶν φυτῶν. τρέφονται γοῦν,
καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων, ἢ
ἀπ' ἐκείνων· πολὺ δὲ γένος ἀνθρώπων τοῖς
μὲν

k) Ern. et al. ſine τοῖς. Ad τι intell. ἄλλο.

μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων, γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι, ζῶσι, πάντες δὲ τιθασσεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. ὁμογνωμονῶ σοι καὶ τοῦτ᾽, ἔφη, ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις,
11 ὥστε χρῆσθαι αὐτοῖς, ὅ, τι ἂν βούλωνται. τὸ δ᾽, ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστὶ, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι᾽ ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν· τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ περὶ ὧν αἰσθανόμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες, καταμανθάνομεν, ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι᾽ ὧν τῶν τε ἀγαθῶν
12 ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα· τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι᾽ ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. τὸ δὲ, καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν, διὰ μαντικῆς τοῖς πυνθανομένοις φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας, ᾗ ἂν ἄριστα γίγνοιτο; σοὶ δ᾽, ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, οἵγε l) μηδὲ ἐπερωτώμενοι ὑπό σου προσημαίνουσί σοι, ἅ τε χρὴ
13 ποιεῖν καὶ ἃ μή. ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ

l) Vulgo εἴγε.

σὺ γνώσῃ, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ᾽ ἐξαρκῇ σοι, τὰ ἔργα αὐτῶν ὁρῶντι, σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν. οἵ τε γὰρ ἄλλοι ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασιν, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε, καὶ ὑγιᾶ m), καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε n) δὲ οἰκονομῶν
ἀόρατος ἡμῖν ἐστιν. ἐννόει δ᾽, ὅτι καὶ ὁ πᾶσι 14
φανερὸς δοκῶν εἶναι ἥλιος, οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ᾽ ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται· καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας. κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ, πάντων κρατεῖ· ὁρᾶται δ᾽ οὔτ᾽ ἐπιὼν, οὔτε κατασκήψας, οὔτε ἀπιών. καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ᾽ ὁρῶνται, ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχὴ, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων, τοῦ θείου μετέχει. ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν φανερὸν, ὁρᾶται δὲ οὐδ᾽ αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ᾽ ἐκ τῶν γινομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾶν τὸ
δαιμόνιον. ἐγὼ μὲν, ὦ Σώκρατες, ἔφη ὁ Εὐ- 15
θύδημος, ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου,

m) Al. ὑγιῆ. n) Vulgo τόδε.

μονίου, σαφῶς οἶδα· ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι
δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε
16 ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι. ἀλλὰ
μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ Εὐθύδημε. ὁρᾷς
γάρ, ὅτι ὁ ἐν Δελφοῖς θεός, ὅταν τις αὐτὸν
ἐπερωτᾷ, πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀπο-
κρίνεται, Νόμῳ πόλεως. νόμος δὲ δήπου παν-
ταχοῦ ἐστι, κατὰ δύναμιν ἱεροῖς θεοὺς ἀρέ-
σκεσθαι. πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστε-
ρον τιμῴη θεούς, ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω
17 ποιῶν; ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν
ὑφίεσθαι. ὅταν γάρ τις τοῦτο ποιῇ, φανερὸς
δήπου ἐστὶ τότε οὐ τιμῶν θεούς. χρὴ οὖν μηδὲν
ἐλλείποντα κατὰ δύναμιν τιμᾶν τοὺς θεούς,
θαῤῥεῖν τε καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά.
οὐ γὰρ παρ' ἄλλων γ' ἄν τις μείζω ἐλπίζων
σωφρονοίη, ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν
δυναμένων, οὐδ' ἂν ἄλλως μᾶλλον, ἢ εἰ τούτοις
ἀρέσκοι. ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς
μάλιστα πείθοιτο αὐτοῖς; τοιαῦτα μέν τοι λέ-
γων τε καὶ αὐτὸς ποιῶν, εὐσεβεστέρους τε καὶ
σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν.

## CAPVT IV.

### *De Iustitia et legibus naturalibus.*

Ἀλλὰ μὴν καὶ περὶ τοῦ δικαίου γε, οὐκ ἀπεκρύπτετο, ἣν εἶχε γνώμην, ἀλλὰ καὶ ἔργῳ ἀπεδείκνυτο, ἰδίᾳ τε, πᾶσι νομίμως τε καὶ

καὶ ὠφελίμως χρώμενος, καὶ κοινῇ ἄρχουσί
τε, ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος καὶ
κατὰ πόλιν καὶ ἐν ταῖς στρατείαις οὕτως, ὥστε
διάδηλος εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν. καὶ 2
πότε o) ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμε-
νος, οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους
ψηφίσασθαι p), ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώ-
θη τοιαύτη ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλ-
λον οὐδένα ἄνθρωπον ὑπομεῖναι. καὶ ὅτε οἱ 3
τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους
τι, οὐκ ἐπείθετο. τοῖς τε γὰρ νέοις ἀπαγο-
ρευόντων αὐτῶν μὴ διαλέγεσθαι, καὶ προσ-
ταξάντων ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολι-
τῶν ἀγαγεῖν τινὰ ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπεί-
σθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάτ-
τεσθαι. καὶ ὅτε τὴν ὑπὸ Μελίτου γραφὴν ἔφευ- 4
γε, τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις
πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι, καὶ
κολακεύειν, καὶ δεῖσθαι παρὰ τοὺς νόμους, καὶ
διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δι-
καστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν
εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους
ποιῆσαι, ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δι-
καστῶν, εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προ-
είλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν,
ἢ παρανομῶν ζῆν. Καὶ ἔλεγε δὲ οὕτω καὶ πρὸς
ἄλλους μὲν πολλάκις· οἶδα δέ ποτε αὐτὸν καὶ 5
πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου τοιάδε
διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ
Ἱππίας Ἀθήναζε, παρεγένετο τῷ Σωκράτει
λέγον-

o) Vulgo ὅτε. p) De hac re vid. I, 1, 18.

λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη, τὸ, εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ χαλκέα, ἢ ἱππέα, μὴ ἀπορεῖν, ὅποι ἂν πέμψας τούτου τύχοι· (φασὶ δέ τινες, καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι πάντα μεστὰ εἶναι τῶν διδαξόντων) *) ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον, ἢ υἱὸν ἢ οἰκέτην διδάξασθαι, μὴ εἶναι**), ὅποι
6 ἂν ἐλθὼν τύχοι τούτου. καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτὸν, ἔτι γὰρ σὺ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ ὁ Σωκράτης, ὃ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. σὺ δ' ἴσως, διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι
7 λέγειν ἀεί. πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστὶν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν, ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα ἐστὶν, οὐ τὰ αὐτὰ νῦν, ἃ καὶ πρότερον, ἀποκρίνῃ; περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σὺ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω· περὶ μέν τοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε
8 σὺ, οὔτ' ἂν ἄλλος οὐδεὶς δύναιτ' ἂν εἰπεῖν. νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δ' οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύ-

*) Indignum hoc Xenophonte emblema ejecit Schüz.
**) εἰδέναι ex Stobaeo idem recepit.

παύσονται δ' αἱ πόλεις διαφερόμεναι περὶ τῶν
δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ',
ὅπως ἂν ἀπολειφθείην σου, πρὸ τοῦ ἀκοῦσαι τη-
λικοῦτον ἀγαθὸν εὑρηκότος. ἀλλὰ μὰ Δί', ἔφη, 9
οὐκ ἀκούσῃ, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ, ὅ, τι
νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γάρ, ὅτι
τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγ-
χων πάντας, αὐτὸς δὲ οὐδενὶ θέλων ὑπέχειν
λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός.
τί δέ, ὦ Ἱππία, ἔφη, οὐκ ᾔσθησαι, ὅτι ἐγώ, 10
ἃ δοκεῖ μοι δίκαια εἶναι, οὐδὲν παύομαι ἀπο-
δεικνύμενος; καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ
λόγος ἐστίν; εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ
ἀποδείκνυμαι. ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότε-
ρον τοῦ λόγου τὸ ἔργον εἶναι; πολύ γε νὴ Δί',
ἔφη. δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα
ποιοῦσι, δίκαια δὲ πράττων οὐδεὶς ἄδικος ἂν
εἴη. ᾔσθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυ- 11
ροῦντος, ἢ συκοφαντοῦντος, ἢ φίλους ἢ πόλιν εἰς
στάσιν ἐμβάλλοντος, ἢ ἄλλο τι ἄδικον πράτ-
τοντος; οὐκ ἔγωγ', ἔφη. τὸ δὲ τῶν ἀδίκων
ἀπέχεσθαι, οὐ δίκαιον ἡγῇ; δῆλος εἶ, ἔφη, ὦ
Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ
ἀποδείκνυσθαι γνώμην, ὅ, τι νομίζεις τὸ δί-
καιον. οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ'
ἃ μὴ πράττουσι, ταῦτα λέγεις. ἀλλ' ᾤμην 12
ἔγωγ', ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν,
ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι
μὴ δοκεῖ, σκέψαι, ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ.
φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. ἆρα
τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ
δίκαιον εἶναι; ἔγωγ', ἔφη. οὐ γὰρ αἰσθάνομαί 13

σου, ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις. νό-
μους δὲ πόλεως, ἔφη, γιγνώσκεις; ἔγωγ', ἔφη.
καὶ τίνας τούτους νομίζεις; ἃ οἱ πολῖται, ἔφη,
συνθέμενοι, ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι,
ἐγράψαντο. οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ
κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦ-
τα παραβαίνων; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν
καὶ δίκαια μὲν πράττει ὁ τούτοις πειθόμενος,
ἄδικα δ' ὁ τούτοις ἀπειθῶν; πάνυ μὲν οὖν. οὐκοῦν
ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος· ὁ δὲ τὰ
ἄδικα, ἄδικος; πῶς γὰρ οὔ; ὁ μὲν ἄρα νόμι-
14 μος, δίκαιός ἐστιν, ὁ δὲ ἄνομος, ἄδικος. καὶ
ὁ Ἱππίας, νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς
ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι, ἢ τὸ
πείθεσθαι αὐτοῖς, οὕς γε πολλάκις αὐτοὶ οἱ θέ-
μενοι q) ἀποδοκιμάσαντες μετατίθενται; καὶ
γὰρ πόλεμον, ἔφη ὁ Σωκράτης, πολλάκις ἀρά-
μεναι αἱ πόλεις, πάλιν εἰρήνην ποιοῦνται; καὶ
μάλα, ἔφη. Διάφορον οὖν τι οἴει ποιεῖν, ἔφη,
τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι
καταλυθεῖεν r) ἂν οἱ νόμοι, ἢ εἰ τοὺς πολεμίους
εὐτακτοῦντας ψέγοις, ὅτε γένοιτ' ἂν εἰρήνη;
ἢ καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προ-
θύμως βοηθοῦντας μέμφῃ; μὰ Δί' οὐκ ἔγωγ',
15 ἔφη. Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον, ἔφη ὁ
Σωκράτης, καταμεμάθηκας, ὅτι οὐδὲν ἂν
διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίη-
σεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα
ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς
πόλεσιν οὐκ οἶσθα, ὅτι, οἵτινες ἂν τοῖς πολί-
ταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι,
οὗτοι

q) Alii αὐτούς. r) Vulg. καταλύοιεν.

Franckesche Stiftungen zu Halle

οὗτοι ἄριστοί εἰσι; καὶ πόλις, ἐν ᾗ μάλιστα οἱ
πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε
ἄριστα διάγει, καὶ ἐν πολέμῳ ἀνυπόστατός
ἐστιν. ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγα- 16
θὸν δοκεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστάκις ἐν
αὐταῖς αἵ τε γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες πα-
ρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ παν-
ταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας
ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν
ὅρκον τοῦτον. οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι,
οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται,
οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ'
ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδὲ ἵνα
τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πεί-
θωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων,
αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται
γίγνονται· ἄνευ δὲ ὁμονοίας, οὔτ' ἂν πόλις εὖ
πολιτευθείη, οὔτε οἶκος καλῶς οἰκηθείη. ἰδίᾳ 17
δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο;
πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πεί-
θοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις
ἡττῷτο; ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν
τις μᾶλλον πιστεύσειε παρακαταθέσθαι ἢ χρή-
ματα, ἢ υἱοὺς, ἢ θυγατέρας; τίνα δ' ἂν ἡ
πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου;
παρὰ τίνων δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν
ἢ γονεῖς, ἢ οἰκεῖοι, ἢ οἰκέται, ἢ φίλοι, ἢ πο-
λῖται, ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι
πιστεύσειαν ἢ ἀνοχὰς, ἢ σπονδὰς, ἢ συνθή-
κας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον, ἢ τῷ νομί-
μῳ, σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τῷ δ' ἂν
μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμονίαν, ἢ

φρουραρχίαν, ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργε-
τήσας ὑπολάβοι χάριν κομιεῖσθαι μᾶλλον, ἢ
τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις εὐεργετή-
σειεν, ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζοι;
τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι,
ἢ τῷ ἧττον ἐχθρὸς, ἢ τῷ τοιούτῳ; τῷ δ' ἄν
τις ἧττον πολεμήσειεν, ἢ ᾧ ἂν μάλιστα μὲν
φίλος εἶναι βούλοιτο, ἥκιστα δὲ ἐχθρὸς, καὶ
ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο
18 εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι; ἐγὼ
μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἐπιδείκνυμι νό-
μιμόν τε καὶ δίκαιον εἶναι· σὺ δ' εἰ τἀναν-
τία γιγνώσκεις, δίδασκε. καὶ ὁ Ἱππίας,
ἀλλὰ, μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι
δοκῶ τἀναντία γιγνώσκειν, οἷς εἴρηκας περὶ
19 τοῦ δικαίου. ἀγράφους δέ τινας οἶσθα, ἔφη,
ὦ Ἱππία, νόμους; τούς γ' ἐν πάσῃ, ἔφη, χώ-
ρᾳ κατὰ ταὐτὰ νομιζομένους. ἔχοις ἂν οὖν
εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο;
καὶ πῶς ἄν; ἔφη, οἵγε οὔτε συνελθεῖν ἅπαν-
τες ἂν δυνηθεῖεν, οὔτε ὁμόφωνοί εἰσι. τίνας
οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τού-
τους; ἐγὼ μὲν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους
τούτους τοῖς ἀνθρώποις θεῖναι. καὶ γὰρ πα-
ρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται τοὺς
20 θεοὺς σέβειν. οὐκοῦν καὶ γονέας τιμᾷν παν-
ταχοῦ νομίζεται; καὶ τοῦτο, ἔφη. οὐκοῦν καὶ
μήτε γονέας παισὶ μίγνυσθαι, μήτε παῖδας
γονεῦσιν; οὐκέτι μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες,
οὗτος θεοῦ νόμος εἶναι. τί δή; ἔφη. ὅτι αἰ-
σθάνομαί τινας, ἔφη, παραβαίνοντας αὐτόν.
καὶ γὰρ ἄλλα πολλὰ, ἔφη, παρανομοῦσιν.

ἀλλ'

Franckesche Stiftungen zu Halle

ἀλλ' οὖν δίκην γέ τοι διδόασιν οἱ παραβαί- 21
νοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν
οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν· ὥσ-
περ τοὺς ὑπ' ἀνθρώπων κειμένους νόμους ἔνιοι
παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι,
οἱ μὲν, λανθάνοντες, οἱ δὲ, βιαζόμενοι. καὶ 22
ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύναν-
ται διαφεύγειν γονεῖς τε παισὶ, καὶ παῖδες
γονεῦσι μιγνύμενοι; τὴν μεγίστην νὴ Δί', ἔφη.
τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνο-
ποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι; πῶς οὖν, 23
ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, οὕς γε οὐδὲν
κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν
παιδοποιεῖσθαι; ὅτι νὴ Δί', ἔφη, οὐ μόνον
ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους
εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν.
ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν
ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων, ἢ
τῶν παρηκμακότων; ἀλλὰ μὰ Δί', ἔφη, οὐκ
εἰκὸς ὅμοια εἶναι. πότερα οὖν, ἔφη, βελτίω;
δῆλον ὅτι, ἔφη, τὰ τῶν ἀκμαζόντων. τὰ
τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα. οὐκ εἰ-
κὸς μὰ Δί', ἔφη. οὐκοῦν οὕτω γε οὐ δεῖ παι-
δοποιεῖσθαι. οὐ γὰρ οὖν, ἔφη. οὐκοῦν οἵ γε οὕτω
παιδοποιούμενοι s), ὡς οὐ δεῖ, παιδοποιοῦνται;
ἔμοιγε δοκεῖ, ἔφη. τίνες οὖν ἄλλοι, ἔφη, κα-
κῶς ἂν παιδοποιοῖντο, εἴγε μὴ οὗτοι; ὁμο-
γνωμονῶ σοι, ἔφη, καὶ τοῦτο. τί δέ; τοὺς εὖ 24
ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν
ἐστι; νόμιμον, ἔφη. παραβαίνεται δὲ καὶ τοῦ-



s) Vulgo οὕτω abest.

το. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσὶν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν, τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι; νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, θεοῖς ταῦτα πάντα ἔοικε. τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν, βελτίονος ἢ κατ' ἄνθρωπον
25 νομοθέτου δοκεῖ μοι εἶναι. πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; οὐκ ἄλλα μὰ Δί', ἔφη. σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν εἰ μὴ θεός. καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. τοιαῦτα λέγων τε καὶ πράττων δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας.

---

## CAPVT V.

### *De Intemperantia.*

Ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς αὐτὸν μάλιστα πάν-

Franckesche Stiftungen zu Halle

πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προ-
ετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς
ἐγκράτειαν. ἀεὶ μὲν οὖν τῶν t) πρὸς ἀρετὴν
χρησίμων αὐτός τε διετέλει μεμνημένος, καὶ
τοὺς συνόντας πάντας ὑπομιμνήσκων. οἶδα δέ 2
ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρα-
τείας τοιάδε διαλεχθέντα. εἰπέ μοι, ἔφη, ὦ
Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις
εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν;
ὡς οἷόν τέ γε μάλιστα, ἔφη. ὅστις οὖν ἄρχεται 3
ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ
ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα,
νομίζεις τοῦτον ἐλεύθερον εἶναι; ἥκιστα, ἔφη.
ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν
τὰ βέλτιστα. εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας
τὰ τοιαῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; παν-
τάπασί γε, ἔφη. παντάπασιν ἆρα σοι δο- 4
κοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; νὴ τὸν Δί',
ἔφη, εἰκότως. πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρα-
τεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ
καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; οὐδὲν
ἧττον ἔμοιγ', ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζε-
σθαι ἢ ἐκεῖνα κωλύεσθαι. ποίους δέ τινας 5
δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας,
τὰ δὲ κάκιστα ἀναγκάζοντας; ὡς δυνατὸν νὴ
Δί', ἔφη, κακίστους. δουλείαν δὲ ποίαν κακί-
στην νομίζεις εἶναι; ἐγὼ μὲν, ἔφη, τὴν παρὰ
τοῖς κακίστοις δεσπόταις. τὴν κακίστην ἆρα
δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; ἔμοιγε δοκεῖ,
ἔφη. σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν, οὐ δοκεῖ 6
σοι, ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία,



t) Al. περὶ τῶν.

εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι
προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν
αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ
πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ
τῶν κακῶν ἐκπλήξασα ποιεῖν, τὸ χεῖρον ἀντὶ
τοῦ βελτίωνος αἱρεῖσθαι; γίγνεται τοῦτ᾽, ἔφη.
7 σωφροσύνην δὲ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν
ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δή-
που τὰ ἐναντία, σωφροσύνης καὶ ἀκρασίας ἔρ-
γα ἐστίν. ὁμολογῶ καὶ τοῦτ᾽, ἔφη. τοῦ δ᾽ ἐπι-
μελεῖσθαι, ὧν προσήκει, οἴει τι κωλυτικώτε-
ρον ἀκρασίας εἶναι; οὔκουν ἔγωγ᾽, ἔφη. τοῦ δ᾽
ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖ-
σθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι,
ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρο-
νοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι
8 ἀνθρώπῳ κάκιον εἶναι; οὐδὲν, ἔφη. οὐκοῦν τὴν
ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς
τοῖς ἀνθρώποις αἰτίαν εἶναι; πάνυ μὲν οὖν,
ἔφη. οὐκοῦν καὶ τὸ τῶν ἐναντίων αἴτιον u) εἰκὸς
ἄριστον εἶναι; εἰκὸς γὰρ, ἔφη. ἔοικεν ἄρ᾽, ἔφη,
ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἡ ἐγκράτεια
9 εἶναι. εἰκότως γὰρ, ἔφη, ὦ Σώκρατες. ἐκεῖ-
νο δὲ, ὦ Εὐθύδημε, ἤδη πώποτε ἐνεθυμήθης;
ποῖον; ἔφη. ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ᾽ ἅπερ
μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν,
αὐτὴ μὲν οὐ δύναται ἄγειν· ἡ δ᾽ ἐγκράτεια
πάντων μάλιστα ἥδεσθαι ποιεῖ. πῶς; ἔφη.
ὥσπερ ἡ μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν οὔτε
λιμὸν, οὔτε δίψαν, οὔτε ἀφροδισίων ἐπιθυμίαν,
οὔτε ἀγρυπνίαν, (δι᾽ ὧν μόνων ἐστὶν ἡδέως μὲν
φαγεῖν

u) Vulg. τὸ αἴτιον.

Franckesche Stiftungen zu Halle

φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι, ἡδέως
δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, περι-
μείναντας x) καὶ ἀνασχομένους, ἕως ἂν ταῦ-
τα ὡς ἔνι ἥδιστα γένηται) κωλύει τοῖς ἀναγ-
καιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως
ἥδεσθαι· ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτε-
ρεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως
μνήμης ἐπὶ τοῖς εἰρημένοις. παντάπασιν, ἔφη,
ἀληθῆ λέγεις. ἀλλὰ μὴν τοῦ μαθεῖν, τι κα- 10
λὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι τῶν
τοιούτων τινὸς, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ
σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον
καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέ-
λιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, ἀφ'
ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγι-
σται γίγνονται y), οἱ μὲν ἐγκρατεῖς ἀπολαύ-
ουσι πράττοντες αὐτὰ, οἱ δ' ἀκρατεῖς οὐδενὸς
μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν
τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα
πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν
περὶ τὰς ἐγγυτάτω ἡδονάς; καὶ ὁ Εὐθύδη- 11
μος, δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν,
ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν
πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. τί γὰρ
διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρα-
τὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν
κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς
τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρο-
νεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι
μό-

x) Vulgg. καὶ περιμ. Sed καὶ abest a Stobaeo Veneto.

y) Vulg. γίγνονται. οἱ μὲν γὰρ ἐγκρ. male.

μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγ-
μάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας κα-
τὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν
12 δὲ κακῶν ἀπέχεσθαι. καὶ οὕτως, ἔφη, ἀρί-
στους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι, διαλέγοντας κατὰ γένη τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι. ἐκ τούτου γὰρ γίγνεσθαι ἄνδρας ἀρίστους τε, καὶ ἡγεμονικωτάτους, καὶ διαλεκτικωτάτους.

---

## CAPVT VI.

*Diſſerendi facultatem e conſuetudine Socratis conſequuntur familiares.*

Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας, τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας, οὐδὲν ἔφη θαυμαστὸν εἶναι, αὐτούς τε σφάλλεσθαι, καὶ ἄλλους σφάλλειν. ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι, τί ἕκαστον εἴη τῶν ὄντων, οὐδεπώποτ᾽ ἔληγε. πάντα μὲν οὖν, ᾗ διωρίζετο, πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δὲ

καὶ

καὶ τὸν τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶ-
μαι, τοσαῦτα λέξω. πρῶτον δὲ περὶ εὐσε- 2
βείας ὧδέ πως ἐσκόπει· εἰπέ μοι, ἔφη, ὦ
Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι;
καὶ ὅς, κάλλιστον νὴ Δί', ἔφη. ἔχεις οὖν εἰ-
πεῖν, ὁποῖός τις ὁ εὐσεβής ἐστιν; ἐμοὶ μὲν δο-
κεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν. ἔξεστι δὲ, ὃν
ἄν τις βούληται τρόπον, τοὺς θεοὺς τιμᾷν; οὐκ·
ἀλλὰ νόμοι εἰσὶ, καθ' οὓς δεῖ τοῦτο ποιεῖν.
οὐκοῦν ὁ τοὺς νόμους τούτους εἰδὼς z), εἰδείη ἂν, 3
ὡς δεῖ τοὺς θεοὺς τιμᾷν; οἶμαι ἔγωγ', ἔφη.
ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾷν, οὐκ ἄλλως
οἴεται δεῖν τοῦτο ποιεῖν, ἢ ὡς οἶδεν; οὐ γὰρ
οὖν, ἔφη. ἄλλως δέ τις θεοὺς τιμᾷ, ἢ ὡς οἴε-
ται δεῖν; οὐκ οἶμαι, ἔφη. ὁ ἄρα τὰ περὶ τοὺς 4
θεοὺς νόμιμα εἰδὼς, νομίμως ἂν τοὺς θεοὺς τι-
μῴη. πάνυ μὲν οὖν. οὐκοῦν ὅγε νομίμως τι-
μῶν, ὡς δεῖ, τιμᾷ; πῶς γὰρ οὔ; ὁ δέ γε,
ὡς δεῖ, τιμῶν, εὐσεβής ἐστι; πάνυ μὲν οὖν,
ἔφη. ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰ-
δὼς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη.
ἐμοὶ γοῦν, ἔφη, δοκεῖ. Ἀνθρώποις δὲ a) ἄρα 5
ἔξεστιν, ὃν ἄν τις τρόπον βούληται, χρῆσθαι;
οὔκ. ἀλλὰ καὶ περὶ τούτους b) ὁ εἰδὼς, ἅ ἐστι
νόμιμα, καθ' ἃ c) δεῖ πως ἀλλήλοις χρῆ-
σθαι,

z) Vulgo ποιῶν.

a) Vulgo τε. δὲ est ex conj. eleganti Reiskii, Adamantii et Ern.

b) Vulgo παρὰ τούτοις, quod et Ernestus conservavit.

c) Vulgo καθὰ mox omnes πρὸς ἀλλήλους χρῆσθαι, sed ἀλλήλοις legendum, ut est in nonnullis libris, et pro πρὸς πως ipse Ernestus contendit.

σθαι, νόμιμος ἂν εἴη. οὐκοῦν οἱ κατὰ ταῦτα
χρώμενοι ἀλλήλοις, ὡς δεῖ, χρῶνται; πῶς
γὰρ οὔ; οὐκοῦν οἵγε, ὡς δεῖ, χρώμενοι, καλῶς
χρῶνται; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν οἵγε τοῖς
ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττου-
σι τ' ἀνθρώπεια πράγματα; εἰκός γ', ἔφη.
οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι, δίκαια οὗτοι
6 ποιοῦσι; πάνυ μὲν οὖν, ἔφη. Δίκαια δὲ οἶσθα,
ἔφη, ὁποῖα καλεῖται; ἃ οἱ νόμοι κελεύουσιν,
ἔφη. οἱ ἄρα ποιοῦντες, ἃ οἱ νόμοι κελεύουσι,
δίκαιά τε ποιοῦσι, καὶ ἃ δεῖ; πῶς γὰρ οὔ; οὐκοῦν
οἵγε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσιν; οἶμαι
ἔγωγ', ἔφη. οἴει οὖν τινας πείθεσθαι τοῖς νό-
μοις, μὴ εἰδότας, ἃ οἱ νόμοι κελεύουσιν; οὐκ
ἔγωγ', ἔφη. εἰδότας δὲ ἃ δεῖ ποιεῖν, οἴει τι-
νὰς οἴεσθαι, δεῖν μὴ ποιεῖν ταῦτα; οὐκ οἴομαι,
ἔφη. οἶδας δέ τινας ἄλλα ποιοῦντας, ἢ ἃ οἴον-
ται δεῖν; οὐκ ἔγωγ', ἔφη. οἱ ἄρα τὰ περὶ τοὺς
ἀνθρώπους νόμιμα εἰδότες, τὰ δίκαια οὗτοι
ποιοῦσιν; πάνυ μὲν οὖν, ἔφη, οὐκοῦν οἵγε τὰ δί-
καια ποιοῦντες, δίκαιοί εἰσι; τίνες γὰρ ἄλλοι;
ἔφη. ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα, d) ὁρι-
ζόμενοι δικαίους, εἶναι τοὺς εἰδότας τὰ περὶ
7 ἀνθρώπους νόμιμα; ἔμοιγε δοκεῖ, ἔφη. Σο-
φίαν δὲ τί ἂν φήσαιμεν εἶναι; εἰπέ μοι· πό-
τερά σοι δοκοῦσιν οἱ σοφοί, ἃ ἐπίστανται, ταῦ-
τα σοφοὶ εἶναι, ἢ εἰσί τινες, ἃ μὴ ἐπίστανται,
σοφοί; ἃ ἐπίστανται δῆλον ὅτι, ἔφη. πῶς
γὰρ ἄν τις, ἅ γε μὴ ἐπίσταιτο, ταῦτα σοφὸς
εἴη; ἆρ' οὖν οἱ σοφοί, ἐπιστήμῃ σοφοί εἰσι; τίνι
γάρ, ἔφη, ἄλλῳ τις ἂν εἴη σοφός, εἴ γε μὴ
ἐπι-

d) Ed. Wels: ὁρισοίμεθα.

ἐπιςήμη; ἄλλο δέ τι σοφίαν οἴει εἶναι, ἢ ᾧ σο-
φοί εἰσιν; ȣ̓κ ἔγωγε. ἐπιςήμη ἄρα σοφία ἐςίν;
ἔμοιγε δοκεῖ. ἆρ' ȣ̃ν δοκεῖ σοι ἀνθρώπῳ δυνα-
τὸν εἶναι, τὰ ὄντα πάντα ἐπίςασθαι; ȣ̓δὲ μὰ
Δί' ἔμοιγε πολλοςὸν μέρος αὐτῶν. πάντα μὲν
ἄρα σοφὸν ȣ̓χ οἷόν τε ἄνθρωπον εἶναι; μὰ Δί'
ȣ̓ δῆτα, ἔφη. ὃ ἄρα ἐπίςαται ἕκαςος, τȣ̃-
το καὶ σοφός ἐςιν; ἔμοιγε δοκεῖ. ἆρ' ȣ̃ν, ὦ 8
Εὐθύδημε, καὶ τἀγαθὸν ȣ̈τω ζητητέον ἐςί;
πῶς; ἔφη. δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλι-
μον εἶναι; ȣ̓κ ἔμοιγε. τί δέ; τὸ ἄλλῳ ὠφέλι-
μον ȣ̓ δοκεῖ σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι;
καὶ μάλα, ἔφη. ἄλλο δ' ἄν τι φαίης ἀγα-
θὸν εἶναι, ἢ τὸ ὠφέλιμον; ȣ̓κ ἔγωγ', ἔφη. τὸ 9
ἄρα ὠφέλιμον, ἀγαθόν ἐςιν, ὅτῳ ἂν ὠφέλι-
μον ᾖ; δοκεῖ μοι, ἔφη. τὸ δὲ καλὸν ἔχοιμεν
ἄν πως ἄλλως εἰπεῖν, ἤ, εἰ ἔςιν e), ὀνομά-
ζεις καλὸν ἢ σῶμα, ἢ σκεῦος, ἢ ἄλλ' ὁτιȣ̃ν,
ὃ οἶσθα πρὸς πάντα καλὸν ὄν; μὰ Δί', ȣ̓κ
ἔγωγ', ἔφη. ἆρ' ȣ̃ν, πρὸς ὃ ἂν ἕκαςον χρήσι-
μον ᾖ, πρὸς τȣ̃το ἑκάςῳ καλῶς ἔχει χρῆ-
σθαι; πάνυ μὲν ȣ̃ν, ἔφη. καλὸν δὲ πρὸς
ἄλλο τί ἐςιν ἕκαςον, ἢ πρὸς ὃ ἑκάςῳ καλῶς
ἔχει χρῆσθαι; ȣ̓δὲ πρὸς ἓν ἄλλο, ἔφη. τὸ
χρήσιμον ἄρα καλόν ἐςι, πρὸς ὃ ἂν ᾖ χρήσι-
μον; ἔμοιγε δοκεῖ, ἔφη. ἀνδρείαν δὲ, ὦ Εὐ-
θύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι; κάλ-
λιςον μὲν ȣ̃ν ἔγωγ', ἔφη. χρήσιμον ἄρα ȣ̓ 10
πρὸς τὰ ἐλάχιςα νομίζεις τὴν ἀνδρείαν; μὰ
Δί'

e) Al. ἔνεςιν f. leg. ἢ ἔςιν, εἰ ὀνομ. vel etiam ἢ, εἰ ἔςιν ὅτε ὀνομ. (Schüz. V. Cl. conj. et edidit ἢ εἰ ἔςιν ὀνομάζειν.)

Franckesche Stiftungen zu Halle

Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. ἆρ' οὖν δο-
κεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσι-
μον εἶναι τὸ ἀγνοεῖν αὐτά; ἥκιστά γ', ἔφη. οἱ
ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα, διὰ τὸ μὴ εἰ-
δέναι, τί ἐστιν, οὐκ ἀνδρεῖοί εἰσι; νὴ Δί', ἔφη.
πολλοὶ γὰρ ἂν οὕτω γε τῶν τε f) μαινομένων
καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. τί δὲ οἱ καὶ τὰ
μὴ δεινὰ δεδοικότες; ἔτι γε, νὴ Δία, ἧττον,
ἔφη. ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ
καὶ ἐπικίνδυνα ὄντας, ἀνδρείους ἡγῇ εἶναι, τοὺς
11 δὲ κακοὺς, δειλούς; πάνυ μὲν οὖν, ἔφη. ἀγα-
θοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς,
ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; οὔκ,
ἀλλὰ τούτους, ἔφη. κακοὺς δὲ ἄρα τοὺς οἵους
τούτοις κακῶς χρῆσθαι; τίνας γὰρ ἄλλους;
ἔφη. ἆρ' οὖν ἕκαστοι χρῶνται, ὡς οἴονται δεῖν;
πῶς γὰρ ἄλλως; ἔφη. ἆρα οὖν οἱ μὴ δυνάμε-
νοι καλῶς χρῆσθαι, ἴσασιν, ὡς δεῖ, χρῆσθαι;
οὐ δήπου γε, ἔφη. οἱ ἄρα εἰδότες, ὡς δεῖ,
χρῆσθαι, οὗτοι καὶ δύνανται; μόνοι γε, ἔφη.
τί δὲ, οἱ μὴ διημαρτηκότες ἄρα κακῶς
χρῶνται τοῖς τοιούτοις; οὐκ οἴομαι, ἔφη. οἱ
ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; εἰκός γε,
ἔφη. οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε
καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοί εἰ-
σιν, οἱ δὲ διαμαρτάνοντες τούτου, δειλοί; ἔμοιγε
12 δοκοῦσιν, ἔφη. Βασιλείαν δὲ καὶ τυραννίδα,
ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν
δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ, ἑκόντων τε
τῶν ἀνθρώπων καὶ κατὰ νόμους τῶν πόλεων
ἀρχὴν, βασιλείαν ἡγεῖτο· τὴν δὲ ἀκόντων τε
καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βού-

f) Al. τῶν γε μ.

λοιτο,

λοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νό-
μιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύ-
την τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι·
ὅπου δ' ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου 13
δ' ἐκ πάντων, δημοκρατίαν. Εἰ δέ τις αὐτῷ
περί του ἀντιλέγοι, μηδὲν ἔχων σαφὲς λέγειν,
ἀλλ' ἄνευ ἀποδείξεως, ἤτοι σοφώτερον φά-
σκων εἶναι, ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτε-
ρον, ἢ ἀνδρειότερον, ἢ ἄλλο τι τῶν τοιούτων,
ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν ἂν πάντα τὸν λό-
γον ὧδέ πως· φῂς σὺ ἀμείνω πολίτην εἶναι, ὃν 14
σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; φημὶ γὰρ οὖν. τί οὖν,
οὐκ ἐκεῖνο πρῶτον ἐπισκεψόμεθα g), τί ἐστιν ἔρ-
γον ἀγαθοῦ πολίτου; ποιῶμεν τοῦτο. οὐκοῦν ἐν
μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμα-
σιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; πάνυ μὲν
οὖν, ἔφη. ἐν δέ γε πολέμῳ, ὁ καθυπερτέραν
τῶν ἀντιπάλων; πῶς γὰρ οὔ; ἐν δὲ πρεσβείᾳ,
ἆρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευά-
ζῃ; εἰκότως γε. οὐκοῦν καὶ ἐν δημηγορίᾳ, ὁ
στάσεις τε παύων, καὶ ὁμόνοιαν ἐμποιῶν; ἔμοι-
γε δοκεῖ. οὕτω δὲ τῶν λόγων ἐπαναγομένων,
καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο
τἀληθές. ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, 15
διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νο-
μίζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. τοι-
γαροῦν πολὺ μάλιστα, ὧν ἐγὼ οἶδα, ὅτε λέγοι,
τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. ἔφη δὲ,
καὶ Ὅμηρον h) τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀ-
σφαλῆ

g) Vulg. ἐπεσκεψάμεθα, al. ἐπισκεψώμεθα.

h) Odyss. θ. 171.

σφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους.

---

## CAPVT VII.

### *Quid et quantum ſit in quacunque arte diſcendum.*

Ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι· ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω. πάντων μὲν γὰρ, ὧν ἐγὼ οἶδα, μάλιστα ἔμελεν αὐτῷ εἰδέναι, ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ. ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ, τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν. ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς.
2 ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι
ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον.
αὐτίκα, γεωμετρίαν μέχρι μὲν τούτου, ἔφη, δεῖν
μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴποτε
δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν, ἢ
παραδοῦναι, ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξα-
σθαι. οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν, ὥστε
τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα
τήν τε γῆν, ὁπόση ἐστὶν, εἰδέναι, καὶ ὡς με-
3 τρεῖται ἐπιστάμενον ἀπιέναι. τὸ δὲ μέχρι τῶν
δυσξυ-

δυσξυνέτων διαγραμμάτων γεωμετρίαν μαν-
θάνειν ἀπεδοκίμαζεν. ὅ, τι μὲν γὰρ ὠφε-
λοίη ταῦτα, οὐκ ἔφη ὁρᾷν· καί τοι οὐκ ἄπειρός
γε αὐτῶν ἦν. ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀν-
θρώπου βίον κατατρίβειν, καὶ ἄλλων πολλῶν
τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν. ἐκέ- 4
λευε δὲ καὶ ἀστρολογίας i) ἐμπείρους γίγνεσθαι,
καὶ ταύτης μέν τοι μέχρι τοῦ νυκτός τε ὥραν,
καὶ μηνὸς, καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν,
ἕνεκα πορείας τε, καὶ πλοῦ, καὶ φυλακῆς·
καὶ ὅσα ἄλλα ἢ νυκτὸς, ἢ μηνὸς, ἢ ἐνιαυτοῦ
πράττεται, πρὸς ταῦτ᾽ ἔχειν τεκμηρίοις χρῆ-
σθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκον-
τας. καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν πα-
ρά τε τῶν νυκτοθηρῶν, καὶ κυβερνητῶν, καὶ
ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέναι. τὸ 5
δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι
τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα, καὶ
τοὺς πλάνητάς τε, καὶ ἀσταθμήτους ἀστέρας
γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς
γῆς, καὶ τὰς περιόδους, καὶ τὰς αἰτίας αὐ-
τῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέ-
τρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν ἐν τού-
τοις, ἔφη, ὁρᾷν (καίτοι οὐδὲ τούτων γε ἀνήκοος
ἦν)· ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρί-
βειν ἀνθρώπου βίον, καὶ πολλῶν καὶ ὠφελίμων
ἀποκωλύειν. ὅλως δὲ, τῶν οὐρανίων, ᾗ ἕκαστα 6
ὁ θεὸς μηχανᾶται, φροντιστὴν γίγνεσθαι, ἀπέ-
τρεπεν. οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνό-
μιζεν εἶναι, οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο
τὸν ζητοῦντα, ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθη-



i) ἀστρονομίας Wels.

σαν. κινδυνεῦσαι δ' ἂν, ἔφη, καὶ παραφρονῆ-
σαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀνα-
ξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας
ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι.
7 ἐκεῖνος γὰρ λέγων μὲν, τὸ αὐτὸ εἶναι πῦρ τε
καὶ ἥλιον, ἠγνόει, ὡς τὸ μὲν πῦρ οἱ ἄνθρωποι
ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται
ἀντιβλέπειν. καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμ-
πόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ
δὲ τοῦ πυρὸς οὔ. ἠγνόει δὲ, ὅτι καὶ τῶν ἐκ τῆς
γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύνα-
ται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερ-
μαινόμενα πάντα ἀπόλλυται. φάσκων δὲ τὸν
ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει,
ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πο-
λὺν χρόνον ἀντέχει· ὁ δὲ ἥλιος τὸν πάντα
8 χρόνον πάντων λαμπρότερος ὢν διαμένει. ἐκέ-
λευε δὲ καὶ λογισμοὺς μανθάνειν, καὶ τούτων δὲ
ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν
μάταιον πραγματείαν. μέχρι δὲ τοῦ ὠφελίμου
πάντα καὶ αὐτὸς συνεπεσκόπει καὶ συνδιεξῄει
9 τοῖς συνοῦσι. προέτρεπε δὲ σφόδρα καὶ ὑγι-
είας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν
εἰδότων μανθάνοντας, ὅσα ἐνδέχοιτο, καὶ
ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου,
τί βρῶμα, ἢ τί πόμα, ἢ ποῖος πόνος συμφέ-
ροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινό-
τατ' ἂν διάγοι. τὸν γὰρ οὕτω προσέχοντα
ἑαυτῷ k), ἔργον, ἔφη, εἶναι, εὑρεῖν ἰατρὸν
τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον δια-
10 γιγνώσκοντα ἑαυτοῦ. εἰ δέ τις μᾶλλον, ἢ κα-
τὰ

k) Vulg. τοῦ προσέχοντος.

τὰ τὴν ἀνθρωπίνην σοφίαν, ὠφελεῖσθαι βού-
λοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι.
τὸν γὰρ εἰδότα, δι' ὧν οἱ θεοὶ τοῖς ἀνθρώ-
ποις περὶ τῶν πραγμάτων σημαίνουσιν, οὐδέποτ'
ἔρημον, ἔφη, γίγνεσθαι συμβουλῆς θεῶν.

---

## CAPVT VIII.

### *Socratis constantia.*

Εἰ δέ τις, ὅτι, φάσκοντος αὐτοῦ, τὸ δαι-
μόνιον ἑαυτῷ προσημαίνειν, ἅτε δέοι καὶ ἃ μὴ
δέοι ποιεῖν, ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θά-
νατος, οἴεται αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαι-
μονίου ψευδόμενον, ἐννοησάτω πρῶτον μὲν, ὅτι
οὕτως ἤδη τότε πόῤῥω τῆς ἡλικίας ἦν, ὥστ' εἰ
καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι
τὸν βίον· εἶτα, ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ
βίου, καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται,
ἀπέλειπεν· ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώ-
μην ἐπιδειξάμενος, εὔκλειαν προσεκτήσατο,
τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα
καὶ ἐλευθεριώτατα καὶ δικαιότατα εἰπὼν, καὶ
τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ ἀν-
δρωδέστατα ἐνεγκών. ὁμολογεῖται γὰρ, οὐδέ- 2
να πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον
θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο
αὐτῷ, μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶ-
ναι διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι,
τὸν δὲ νόμον μηδένα ἐᾷν δημοσίᾳ ἀποθνήσκειν,

ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ. καὶ τὸν
χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγέ-
νετο οὐδὲν ἀλλοιότερον διαβιοὺς, ἢ τὸν ἔμπρο-
3 σθεν χρόνον· καί τοι τῶν ἔμπροσθέν γε πάντων
ἀνθρώπων μάλιστα ἐθαυμάζετο ἐπὶ τῷ εὐθύ-
μως τε καὶ εὐκόλως ζῆν. καὶ πῶς ἂν τις κάλ-
λιον, ἢ οὕτως ἀποθάνοι; ἢ ποῖος ἂν εἴη θά-
νατος καλλίων, ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι;
ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ
καλλίστου, ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονε-
4 στάτου; Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονί-
κου ἤκουσα περὶ αὐτοῦ. ἔφη γὰρ, ἤδη Μελίτου
γεγραμμένου αὐτὸν τὴν γραφὴν, αὐτὸς ἀκούων
αὐτοῦ πάντα μᾶλλον, ἢ περὶ τῆς δίκης διαλε-
γομένου, λέγειν αὐτῷ, ὡς χρὴ σκοπεῖν ὅ, τι
ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν· οὐ
γὰρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέναι;
Ἐπεὶ δὲ αὐτὸν ἤρετο, ὅπως; εἰπεῖν αὐτὸν, ὅτι
οὐδὲν ἄλλο ποιῶν διαγεγένηται, ἢ διασκοπῶν
μὲν τά τε δίκαια, καὶ τὰ ἄδικα, πράττων δὲ
τὰ δίκαια, καὶ τῶν ἀδίκων ἀπεχόμενος· ἥν-
περ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι.
5 αὐτὸς δὲ πάλιν εἰπεῖν, οὐχ ὁρᾷς, ὦ Σώκρα-
τες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη
μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθεσθέντες ἀπέ-
κτειναν, πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν; Ἀλ-
λὰ νὴ τὸν Δία, φάναι αὐτὸν, ὦ Ἑρμόγενες,
ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς
δικαστὰς ἀπολογίας, ἠναντιώθη τὸ δαιμόνιον.
6 καὶ αὐτὸς εἰπεῖν, θαυμαστὰ λέγεις. τὸν δὲ,
θαυμάζεις, φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον
εἶναι, ἐμὲ τελευτᾶν τὸν βίον ἤδη; οὐκ οἶσθ'
ὅτι

Franckesche Stiftungen zu Halle

ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώ-
πων ὑφείμην ἄν, οὔτε βέλτιον, οὔθ' ἥδιον ἐμοῦ
βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν, τοὺς
ἄριστα ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνε-
σθαι, ἥδιστα δέ, τοὺς μάλιστα αἰσθανομένους,
ὅτι βελτίους γίγνονται. ἃ ἐγὼ μέχρι τοῦδε τοῦ 7
χρόνου ᾐσθανόμην ἐμαυτῷ συμβαίνοντα, καὶ
τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων, καὶ πρὸς
τοὺς ἄλλους παραθεωρῶν ἐμαυτόν, οὕτω διατε-
τέλεκα περὶ ἐμαυτοῦ γιγνώσκων. καὶ οὐ μόνον
ἐγώ, ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες*) πε-
ρὶ ἐμοῦ διατελοῦσιν· οὐ διὰ τὸ φιλεῖν ἐμὲ (καὶ
γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς
τοὺς ἑαυτῶν φίλους), ἀλλὰ διόπερ καὶ αὐτοὶ ἂν
οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι. εἰ 8
δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον
ἔσται, τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾶν τε
καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ
δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν,
καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρω
γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε, μὴ αἰσθα- 9
νομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος· αἰσθανόμε-
νον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέστε-
ρον ζῆν; ἀλλὰ μὴν εἴ γε ἀδίκως ἀποθανοῦμαι,
τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν
εἴη τοῦτο. εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς
οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ
δὲ τί αἰσχρόν, τὸ ἑτέρους μὴ δύνασθαι περὶ
ἐμοῦ τὰ δίκαια μήτε γνῶναι, μήτε ποιῆσαι;
ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων 10
ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν κα-
ταλει-

*) γνώμης add. ex Msc. Schüz. V. Cl.

ταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δ', ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν. οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων, οὐδὲ χείρω ἐποίησα· βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. Τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διε-
11 λέχθη, καὶ πρὸς τοὺς ἄλλους. τῶν δὲ Σωκράτην γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δὴ, τοιοῦτος ὢν, οἷον ἐγὼ διήγημαι, (εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δικαίος δὲ, ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ, ἐγκρατὴς δὲ, ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δὲ, ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλ' αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν· ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε, καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε, καὶ ἁμαρτάνοντας ἐξελέγξαι, καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν) ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος. εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλου ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω.

ΤΕΛΟΣ.

Franckesche Stiftungen zu Halle